οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον.
3 καὶ τίς ἀναγγελεῖ τῷ κυρίῳ μου;
αὐτὸς κύριος, αὐτὸς εἰσακούει.
4 αὐτὸς ἐξαπέστειλεν τὸν ἄγγελον αὐτοῦ
καὶ ἦρέν με ἐκ τῶν προβάτων τοῦ πατρός μου
καὶ ἔχρισέν με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ.
5 οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι,
καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς κύριος.
6 ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ,
καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ·
7 ἐγὼ δὲ σπασάμενος τὴν παρ᾿ αὐτοῦ μάχαιραν
ἀπεκεφάλισα αὐτὸν καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ισραηλ.

---

# ΩΔΑΙ

## 1) Nouem Odae ecclesiae graecae.

### 1 Α´

Ὠιδὴ Μωυσέως ἐν τῇ Ἐξόδῳ.

1 Ἄισωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται·
ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.
2 βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν·
οὗτός μου θεός, καὶ δοξάσω αὐτόν,
θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.
3 κύριος συντρίβων πολέμους,
κύριος ὄνομα αὐτῷ.
4 ἅρματα Φαραω καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν,
ἐπιλέκτους ἀναβάτας τριστάτας
κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ,
5 πόντῳ ἐκάλυψεν αὐτούς,
κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.
6 ἡ δεξιά σου, κύριε, δεδόξασται ἐν ἰσχύι·

$3^{1}$ αναγγελλει S | $3^{2}$ εισακουει] pr. παντων S, εισακουσεται μου A(†) || $4^{3}$ εν > S | ελαιω] ελεει SA: cf. 88 21 || $5^{1}$ οι] + δε A† | $5^{2}$ κυρ.] pr. ο A || $7^{1}$ αυτου] εκεινου A†
Subscr. ψαλμοι δαυιδ ρνα´ S, ψαλμοι ρν´ και ιδιογραφος α´ A, > B

---

Odae: ART 55 (partim deficientes, cf. Sept. ed. Rahlfs X [1931], p. 79/80); BS desunt. ordo Odarum in mss. diuersus est; ego primo loco eas nouem Odas posui, quas ecclesia graeca Psalterio addit; sequuntur reliquae, quae in antiquis mss. inueniuntur.
Inscriptionem ωδαι ego addidi; non est in mss.
Od. 1 (Exod. 15 1—19) $2^{2}$ μου θεος R] tr. A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/168 UNIVERSITÄT LEIPZIG